www.tezaurliturgic.ro

# ΟΣΙΟΣ ΓΕΡΜΑΝΟΣ Ο ΕΝ ΑΛΑΣΚΑ



ΕΚΔΟΣΕΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΑΓΙΩΝ ΚΥΠΡΙΑΝΟΥ & ΙΟΥΣΤΙΝΗΣ
ΦΥΛΗ ΑΤΤΙΚΗΣ - 1972

www.tezaurliturgic.ro

ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
ΤΟΥ ΟΣΙΟΥ

# ΓΕΡΜΑΝΟΥ

Ψαλλομένη τῇ 12η Δεκεμβρίου.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ, Μακάριος ἀνήρ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, τὰ ἑπόμενα.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τὴν πατρίδα κατέλιπες καὶ Ἀλάσκᾳ ἐνώκησας, Ἀλεούτων νήσων
πατὴρ γενόμενος καὶ τὸ ὀρθόδοξον φώτισμα, τοῖς πᾶσι μετέδω-
κας, εἰς ἀνάπαυσιν ψυχῶν καὶ αἰσχύνην τοῦ δαίμονος· πάτερ ὅσιε, Γερ-
μανέ, ἰσαπόστολος ἐδείχθης, κακοπάθειαν ἐκλέξας καὶ τὴν πτωχείαν
θεσπέσιε.

Βαλαάμ γόνος ἅγιε καὶ ἐρήμου ἀπαύγασμα, Γερμανὲ τὸν βίον σου
ἐξεμέτρησας, ἐν τῇ Ἀλάσκᾳ θαυμάσιε· ἐγκρατείᾳ ἔζησας καὶ ἀλύ-
σεσι δειναῖς, τὰ τοῦ σώματος ἔδησας, πάθη ἅγιε· προσευχῇ σεαυτὸν
διαπεράσας, Ἀλεούτους καθωδήγεις, ὀρθοδοξίᾳ πανεύφημε.

Ξενιτείᾳ διέμεινας, διοράσεως ἔτυχες, Γερμανὲ πανθαύμαστε καὶ ἡ-
μέρωσιν, τὴν τῶν ἀλόγων κατώρθωσας· Ἀδὰμ ὡμοιώθης γάρ, τὸν
Χριστὸν ἐνστερνισθεὶς καὶ παθῶν ὅλως ἔφυγες καὶ θεόληπτος γεγο-
νώς, σεαυτὸν τοῖς Ἀλεούτοις, προσενέγκας, Ἀποστόλων, τὴν πολι-
τείαν ἐζήλωσας.

Προσόμοια ἕτερα.

Ἦχος πλ. δ΄, Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ἐν παγωμένῳ Βορρᾷ, ἀνεφύη πανεύ-
οσμον, ἄνθος νέον ἅγιον, Ὀρθοδόξων τὸ κόσμημα· κακοπαθείᾳ
σώματος πάντοτε, κατὰ δαιμόνων ἤγειρε τρόπαια· πίστιν Ὀρθόδοξον,
Ἀλεούτοις ἔδωκε καὶ βιωτήν, τέλος δὲ ἀπέλαυσε καὶ τῆς θεώσεως.

Πᾶσαν ἀρετὴν κτησάμενος, τῶν Ἀλεούτων φωστήρ, ἀνεφάνης
πανόσιε, τηλαυγίζων πέρασι, τοῖς τοῦ κόσμου θεσπέσιε, τῶν Ἀ-
ποστόλων ἔχων τὸ βίωμα καὶ τῶν μαρτύρων φέρων τὸ φρόνημα. Χαῖ-

www.tezaurliturgic.ro



ρε θεόληπτε, Γερμανὲ πανόλβιε! τὰ τῆς σαρκός, ἐν ἀσκήσει ἔπαυσας, πάθη χαμαίζηλα.

Πάτερ Γερμανὲ ἀπόστολε, τῶν Ἀλεούτων πατήρ, ἐν Ἀλάσκᾳ διέ- λαμψας καὶ πτωχείας ἔρωτι, τῷ Χριστῷ ἠκολούθησας· τὸ τῶν ἀ- λόγων ἄγριον ἔλυσας καὶ τῇ σαρκί σου ἄλυσιν ἤνεγκας· παύων οὐδέπο- τε, προσευχήν, ἐφώτισας τὸ τοῦ Χριστοῦ, ποίμνιον ὀρθόδοξα διδοὺς βι- ώματα.

Δόξα... Ἦχος πλ. β΄.

Νέος φωστὴρ τῇ Ἐκκλησίᾳ ἐφάνη, τῶν ὀρθοδόξων παραμύθιον, τῆς Ἀλάσκας φωτιστὴς καὶ τοῦ «Νέου Βαλαάμ» οἰκιστής. Νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ τὴν σάρκα ἐνίκησε καὶ τὰ θηρία ὑπέταξε. Κακοπά- θειαν ζηλῶν, τὰ τοῦ σώματος πάθη δι᾽ ἀλύσεων ἐδέσμευσε. Γερμανὲ πανένδοξε, τὸ κλέος τοῦ Νέου Κόσμου, Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Προεόρτιον. Ὁ αὐτός.

Τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου ἀκούσωμεν, προφητικῶς λέγοντος· ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώ- σῃ*. Γῆν διψῶσαν νοήσωμεν μήτραν τὴν Παρθενικήν, διὰ τὸ μὴ δέξα- σθαι σπέρμα ἀνδρός. Ρίζαν δὲ τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, συνουσί- ας ἄνευ συλληφθέντος τῇ ἀχράντῳ νηδύϊ. Κροτήσωμεν οὖν χεῖρας πάντες πιστοί, ὑποδεχόμενοι τὴν Παρθένον, ἥτις ἔρχεται Βηθλεέμ, τε- κεῖν τὸν υἱὸν τοῦ εὐλογητοῦ.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔ- δοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρή- νῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανα- σίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσε- δέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι

---

* Ἡσ. νγ΄ 2.

www.tezaurliturgic.ro



λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε' 15 - ς' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ' 7 - 15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α'.

www.tezaurliturgic.ro



Τῶν Ἀποστόλων ἐδείχθης ὁμότροπος, Γερμανὲ πανεύφημε· τῇ ἐγκρατείᾳ ἐδίωξας τὰ πάθη, κακοπαθείᾳ τοὺς δαίμονας. Τῇ πτωχείᾳ καὶ ξενιτείᾳ ἀποφυγὼν κενοδοξίας, ταπεινοφροσύνῃ ἐκοσμήθης. Ἔνδυμα ἔχων προσευχὴν καὶ σκέπην τὴν πραότητα, δάκρυσιν ἐνθέοις τὸν βίον διήνυσας. Πάτερ παναοίδιμε, φωτιστὰ τῶν Ἀλεούτων, μὴ λίπῃς πρεσβεύειν, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Ὁ αὐτός.

Χαίρει καὶ ἐναβρύνεται ἡ Ρωσία, ὡς κατέχουσα τὰ ἱερά σου σπάργανα. Χαίρει καὶ ἀγάλλεται ἡ Ἀλάσκα, θησαυρὸν φυλάττουσα τῶν ἁγίων σου λειψάνων. Χαίρει καὶ τῶν ὀρθοδόξων τὸ σύστημα, ὅτι ἐν ἐσχάτοις τοῖς καιροῖς, ἄνθρωπος τοῦ Θεοῦ ἐφάνης. Γερμανὲ παμμακάριστε, αὔξησον πρεσβείας σου ὑπὲρ ἡμῶν, τῶν δεινῶς τυπτομένων, ὑπὸ λιμοῦ ἁγιότητος.

Ἦχος β'.

Τοῦ Νέου Κόσμου τὸ καύχημα καὶ ὀρθοδόξων τὸ κλέος, Γερμανὲ ἀξιάγαστε, πιστὸς οἰκονόμος ἐδείχθης, τῶν χαρισμάτων τοῦ Θεοῦ· κακοπαθείᾳ χρησάμενος, τὴν ταπείνωσιν ἐνεκομβώθης· τοὺς Ἀλεούτους ἐφώτισας, διὰ τῆς ἁγίας σου βιωτῆς. Ὅθεν ἰσαπόστολος ἐφάνης καὶ ἐκάθισας ἐκ δεξιῶν τοῦ Χριστοῦ,πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Τεσσαράκοντα ἔτη ἀποστολικῶς διέτριψας, τὸ εὐσυμπάθητον ἔχων ἐν τῇ καρδίᾳ. Θείῳ ἔρωτι ἐκ Ρωσίας κινούμενος, εἰς Ἀλάσκαν ἐκήρυττες τὴν Ὀρθοδοξίαν. Δι' ἁλύσεων, κακοπαθειῶν καὶ ἐγκρατείας, τὸ σῶμα σου κατέτριψας πανόλβιε. Τὴν πτωχείαν τοῦ Μοναχικοῦ τριβωνίου ἐξέλεξας, ὑπὲρ πᾶσαν ἀνθρωπίνην δόξαν. Ὅθεν, Γερμανὲ παμμακάριστε, τῷ Κυρίῳ πρέσβευε, τυχεῖν ἡμᾶς χαρίτων οὐρανίων.

Δόξα... Ἦχος πλ. δ'.

Δίκαιος ἐν πᾶσιν ἐφάνης, Γερμανὲ ἱερώτατε· τοῦ Νέου Κόσμου πολιστὴς καὶ προστάτης ἐδείχθης μακάριε. Εἰ καὶ Ρωσία σε ἐγέννησεν, ἡ Ἀλάσκα σε ἀπέλαυσε· καὶ ὡς φοῖνιξ ἤνθησας φαιδρῶς, τῶν ἀρετῶν τὰ πανεύοσμα ἄνθη, ἀκηδίαν καὶ κενοδοξίαν ποιούμενος ἐκποδών. Πρέσβευε οὖν τῷ φιλανθρώπῳ Θεῷ, μνησθῆναι ἡμῶν καὶ πάσης τῆς οἰκουμένης.

Καὶ νῦν... Προεόρτιον. Ὢ τοῦ παραδόξου θαύματος.

Δέξαι οἰκουμένη ἅπασα, τὸν ἐν νεφέλῃ Θεόν, τοῖς ἀνθρώποις ἐρχόμενον, ἐκ Παρθένου ἔχοντα, τὸ ἀνθρώπινον φύραμα. Εὐλογημένη,

www.tezaurliturgic.ro



χαῖρε θεόνυμφε, δεδοξασμένη, χαῖρε ἀμίαντε, ὅτι διέλυσας, τῶν δαιμόνων ζάλην τε καὶ πειρασμοὺς καὶ εὐθὺς ἐξήλειψας, Εὔας παράβασιν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια*.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἀμερικῆς ὁ πυρσός, στῦλος πυρφόρος, τοῦ Βορρᾶ παραμύθιον, καὶ Νέου τοῦ Κόσμου ὅλου, ὁ φωτοδότης ἀστήρ, τοῦ Εὐαγγελίου ὁ διδάσκαλος. Ὡς ξένος παρῴκησας, καὶ τοῖς ξένοις ἐκήρυξας, τῶν ὀρθοδόξων, τὴν ἁγίαν παράδοσιν, ἀδιάφθορον, ὥσπερ ἔλαβες ὅσιε. Μνήμην τὴν μακαρίαν σου, τιμῶντες ἀπόστολε, Γερμανὲ ἐκδυσώπει, Ὃν σὺ ἐδόξασας Κύριον, ἡμῖν δωρηθῆναι, τὴν οὐράνιον εἰρήνην καὶ μέγα ἔλεος.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Χαίροις τῶν μοναστῶν Βαλαὰμ καὶ τῆς ἐρήμου τὸ εὐῶδες κειμήλιον· τὴν σάρκα καταδαμάσας, ἀλύσεσι νοηταῖς, δράκοντα ἀρχαῖον κατεδέσμευσας· παθῶν δὲ διέλυσας, τὴν ἀχλὺν πάτερ ὅσιε· ταπεινοφροσύνην, ὑπὲρ πᾶν ἐπεπόθησας, ὡς ἐν τῇ ζωῇ, οὕτω καὶ τῇ κοιμήσει σου. Χαίρει τὸ «Νέον Βαλαάμ», φυλάττον πανεύφημε, τὸν θησαυρὸν τοῦ σοῦ σκήνους καὶ ἡ Ρωσία ἀγάλλεται, τὸν γόνον ἰδοῦσα, ὑπὲρ ἔθνος καταστᾶντα, ἀγγέλοις ὅμοιον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Γόνος σὺ τῶν ἁγίων ἀνδρῶν, γῆς Ρωσικῆς δὲ πολυένδοξον βλάστημα, τὰς νήσους τῶν Ἀλεούτων, εὐαγγελίσας πιστῶς, ἀθεΐας σκότους ἀπελύτρωσας. Δυνάμεις ἀνέτρεψας, τοῦ πυρὸς καὶ τοῦ ὕδατος, τῶν δὲ θηρίων, φύσιν σὺ κατεπράϋνας· καθυπέταξας, τῆς σαρκὸς τὰ φρονήματα. Ὅθεν καθικετεύω σε, Γερμανὲ πάτερ ὅσιε, σβέσον τὴν φλόγα καὶ παῦσον, πάθη σαρκὸς πλημμυροῦντα με, τυχὼν παρρησίας καὶ προστάτευσον τὸν κόσμον, σεπταῖς πρεσβείαις σου.

Δόξα... Ἦχος πλ. α΄.

Ἐν τῇ παγωμένῃ Ἀλάσκᾳ, εἰς Βορρᾶν τοῦ Νέου Κόσμου, νέος φωστὴρ ἀνεφάνη· ὁ ὅσιος πατὴρ ἡμῶν Γερμανός, ἐκ τῆς Ρωσίας ἕλκων τὸ γένος καὶ τῆς ἐρήμου γνήσιος γόνος. Ἰσαπόστολος ἐδείχθη, τῆς φυλῆς τῶν Ἀλεούτων, κηρύξας αὐτῇ τὴν Ὀρθοδοξίαν. Στῦλος γέγονε τῆς ταπεινώσεως, ὑπογραμμὸς δὲ συμπαθείας, τοῖς προβάτοις

* Τὰ τρία ἑπόμενα τροπάρια τῶν ἀποστίχων ἐλήφθησαν ἐκ τοῦ ὀρθοδόξου περιοδικοῦ «Ἡ Παραδοθεῖσα Πίστις» (βλ. Προλεγόμενα, σελ. 22), ἐλαφρῶς μεταποιηθέντα.

www.tezaurliturgic.ro



τοῦ Χριστοῦ. Ἀσκήσει κατεξήρανε τὸ σῶμα, ἀλύσεσι βαρείαις καὶ ἀγρυπνίαις συντόνοις. Ὅθεν ἡμεῖς οἱ ἀνάξιοι, δυσωποῦμεν σε πάτερ, ἱκετεύειν τῷ Κυρίῳ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Προεόρτιον. Ὁ αὐτός.

Ὑπόδεξαι οἰκουμένη, τὸν Δεσπότην καὶ Σωτῆρα, ἐρχόμενον ἐπὶ κούφης νεφέλης, τῆς Βασιλίσσης τῶν Ἀγγέλων. Αἴτησαι δὲ ἀπαλλαγὴν ἁμαρτιῶν καὶ μέγα ἔλεος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος γ΄. Θείας πίστεως.

Νέον κόσμημα τῆς οἰκουμένης, πάτερ ἅγιε ἐκ τῆς Ρωσίας, ἀνεφάνης Ἀλάσκας διδάσκαλος· καὶ διαρρήξας τοὺς νόμους τῆς φύσεως, Γερμανὲ τῇ ἀσκήσει διέλαμψας. Πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ρωσίας τὸ ἄνθος καὶ Ἀλάσκας θησαύρισμα, τῆς Ὀρθοδοξίας ἀστέρα, Ἀλεούτων ἀπόστολον· ὑμνήσωμεν ἐν ὕμνοις θεϊκοῖς, καρδίαις ἀγαλλόμενοι πιστοί, Γερμανὸν περιπτυσσόμενοι νοητῶς καὶ γεγηθότες κράξωμεν· δόξα τῷ σὲ θεώσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ σὲ δωρήσαντι ἡμῖν, πρέσβυν ἀκοίμητον.

Καὶ νῦν... Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι...

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀλάσκας πολιστά, Ἀλεούτους φωτίσας, νῦν πάντοτε δεινούς, πειρασμοὺς ἐκδιώκεις· πρεσβείας τὰς συντόνους σου, ὡς παράκλησιν ἔχομεν· Γερμανὲ σοφέ, τῆς Ρωσικῆς γῆς ὁ γόνος, σῶσον ἅπαντας καὶ περιφρούρησον πίστει, τιμῶντας τὴν μνήμην σου.

Δόξα... Τὸ αὐτό.
Καὶ νῦν... Προεόρτιον.

Ποθῶν Υἱὸς Θεοῦ λυτρωθῆναι τὸν κόσμον, νηδύϊ Μαριάμ, κατεσκήνωσεν ὅλως· θεόνυμφε πανάμωμε, ἑτοιμάζου δεήσεσιν, καὶ τῆς κτίσεως συνυπουργούσης εἰς δῶρα, δεῦτε ἅπαντες, ἀνευφημήσωμεν Πλάστου, Μητέρα καὶ ἔλευσιν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως ἐβίωσας, δι᾿ ἀρετῶν λαμπρυνθείς· Ἀλάσκᾳ ἐνώκησας καὶ πῦρ τὸ καῖον ἐν σοί, τοὺς πάντας ἐθέρμανε· παύσας τὴν σκοτοδείνην, τῶν εἰδώλων παμμάκαρ, ἔλαμψας τοῦ Σωτῆρος, Ἰησοῦ λαμπηδόνας, γόνε ἐρήμου πάτερ, διὸ σὲ γεραίρομεν.

Δόξα... Τὸ αὐτό.
Καὶ νῦν... Προεόρτιον.

Παρθένος πανάχραντος, ἡ τῶν καλῶν χορηγός, εἰς σπήλαιον ἔρχεται, ἀναβοῶσα ἡμῖν, τοῦ Λόγου τὴν σάρκωσιν. Δεῦτε πᾶσα ἡ κτίσις, ἑορτῇ εὐφρανθῶμεν, λέγοντες τῇ τεκούσῃ, Μαριὰμ Θεοτόκῳ· χαῖρε παντοβασίλισσα, τοῦ κόσμου ἡ σώτειρα.

Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Κακοπάθειαν ἔχων τρυφὴν μακάριε, προσευχὴν ἐξελέξω τροφὴν οὐράνιον· Ἀλεούτων τὴν ἀχλὺν πάτερ διέλυσας· Γερμανὲ θαυματουργέ, ἡσυχίας νοητόν, σὺ ἀπετρύγησας μέλι· Ὀρθοδοξίας ἀστέ-

www.tezaurliturgic.ro



ρα, πάντες προφρόνως εὐφημοῦμέν σε.

Δόξα... Τὸ αὐτό.

Καὶ νῦν... Προεόρτιον.

Τὸν Σωτῆρα οἱ πάντες προϋπαντήσωμεν· ἐν νεφέλῃ γὰρ κούφῃ τῷ κόσμῳ ἔφθασεν· ἵνα λάβῃ ἐπ' Αὐτοῦ ἁμαρτίας ἔρχεται, ἀνακαινίζων τὸν Ἀδάμ, διὰ Παρθένου ἀληθῶς, τῆς Παναγίας Μητρός Του. Ἀλαλάξωμεν πάντες, κόσμου παντὸς τὴν ἀπολύτρωσιν.

Οἱ Ἀναβαθμοί, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Τό, Πᾶσα πνοή... Εὐαγγέλιον ΙΖ΄ (17ης) Ἰανουαρίου, τοῦ ἁγίου Ἀντωνίου (Λουκ. στ΄ 17-23). Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα... Ταῖς τοῦ Σοῦ ὁσίου..., Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου...

Εἶτα τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Τῶν Ἀποστόλων ζηλωτής, καὶ παλαιῶν Πατέρων, τὴν βιωτὴν μιμησάμενος, δι' ἀλύσεων δεινῶν καὶ κακοπαθείας ἀμέτρου, τὴν σάρκα ὑπέταξας. Πρέσβευε οὖν Γερμανέ, φωστὴρ τοῦ Νέου Κόσμου, ὑπὲρ τῶν πόθῳ ὑμνούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς΄, καὶ τοῦ Ἁγίου εἰς η΄.

Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·

Τῷ Γερμανῷ ταπεινὸν πόνημα. Κυπριανός.

Ὠδὴ α΄.

Ἦχος α΄. Χριστὸς γεννᾶται.

Τὴν ρῶσιν δός μοι μακάριε, ὑμνῆσαι σου ζωὴν τὴν θαυμάσιον καὶ φώτισον τὴν διάνοιαν· δώρησαι δὲ χειρί μου τῇ ταπεινῇ, διὰ πρεσβειῶν σου, τέχνην θείαν καὶ καλήν, ἵνα δοξάσω σε.

Ὢ Νέου Κόσμου ἀγλάϊσμα! πατὴρ τῶν Ἀλεούτων ἐτέλεσας· γῆν τὴν ρωσικὴν κατέλιπες· ἅπασιν ἀληθείας τὸ φῶς διδούς, καὶ τῇ ἐγκρατείᾳ, κατενίκησας ἐχθρόν, διώκων θέωσιν.

www.tezaurliturgic.ro



Τῆν Νέου Κόσμου ὡράϊσας, σὺν Πέτρῳ τῷ κλεινῷ πρωτομάρτυρι*, τοὺς πάγους Ἀλάσκας ἔτηξας, θέρμῃ Ὀρθοδοξίας, πάτερ σοφέ˙ διὰ προσευχῶν σου, πάντας ἔστρεψας Χριστῷ, Ὃν καὶ ἐδόξασας.

Θεοτοκίον.

Ἐφάνης σώτειρα ἄνασσα, τὸν Λόγον συλλαβοῦσα νηδύϊ σου, Ὃν σὺ Βηθλεὲμ ἀνέρχῃ νῦν, τοῦ τεκεῖν ἐν σπηλαίῳ καὶ τῶν βροτῶν, πάντων τὰς καρδίας, τοῦ πληρῶσαι ἡδονῆς, Μῆτερ πανάσπιλε.

Καταβασία.

Χριστὸς γεννᾶται δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί˙ ὅτι δεδόξασται.

Ὠδὴ γ΄.

Τῷ πρὸ τῶν αἰώνων.

Ῥηγνύων σὺ νόμους, φυσικούς, ἀνεδείχθης Θεοῦ κοινωνός, καὶ ἐν συντόνῳ ἐγκρατείᾳ, κατεμάρανας σῶμα, Χριστῷ τῷ Θεῷ ἑνούμενος, τῇ ταπεινώσει τοῦ νοῦ καὶ ψυχῆς, πάτερ ἱερώτατε.

Μιμούμενος πάτερ, ἀποστόλους ἐν βίῳ, ἐκέρδισας σύ, τοῦ Παρακλήτου θείαν χάριν, Ἀλεούτοις δεικνύων, ὁδὸν τῆς σεπτῆς τρισόλβιε, καὶ Ὀρθοδόξου ἁγίας ἡμῶν, θείας Παραδόσεως.

Ἀρνούμενος πάτερ, τῆς σαρκὸς ἡδονὰς ταπεινώσει νοός, καὶ τὴν ψευδῆ τοῦ κόσμου δόξαν, καταγώγιον ὤφθης, Τριάδος σεπτῆς, ἣν ἥλκυσας, διὰ φλογμοῦ τῆς ἀγάπης ἐν σοί, ἣν ἡμῖν δυσώπησον.

Θεοτοκίον.

Ναὸς Θεοῦ ὤφθης, τῆς θεότητος θρόνος, δοχεῖον χρυσοῦν˙ ἐν τῇ ἁγνότητί σου φρίττω καὶ ἐξίσταμαι λέγων˙ πῶς σὺ τὸν Θεὸν κυήσασα, ἐν Βηθλεὲμ ἔρχῃ πάναγνε νῦν, τοῦ τεκεῖν ὁλόκληρον!

---

* Ἅγιος Πέτρος ὁ Ἀλεούτος˙ ὁ πρῶτος ἐντόπιος Ἀμερικανὸς μάρτυς - ὁμολογητὴς τῆς Ὀρθοδοξίας. Ὑπέστη μαρτυρικὸν θάνατον ὑπὸ τῶν Λατίνων Ἰησουϊτῶν εἰς τὸν Ἅγιον Φραγκῖσκον, ζῶντος τοῦ ὁσίου Γερμανοῦ. Ὁ ἅγιος μοναχὸς ἐκάλει αὐτὸν «Ἅγιον νεομάρτυρα». Οὕτως, ἐνῷ ἐν Ἑλλάδι κ.ἀ. κατ' αὐτὴν τὴν περίοδον ἔχομεν ἁγίους νεομάρτυρας ἐξ αἰτίας τῶν ἀλλοθρήσκων Τούρκων, ἐν Ἀμερικῇ ἔχομεν ἐξ αἰτίας τῶν «χριστιανῶν» Λατίνων!... Ἡ μνήμη τοῦ ἁγίου Πέτρου τελεῖται κατ' ἔτος τῇ ΙΖ΄ (17η) Μαΐου.

www.tezaurliturgic.ro



Καταβασία.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Ὅπλῳ ἅγιε τῆς ἐγκρατείας, νίκης ἔτυχες κατὰ δαιμόνων· θεολόγος ἐφάνης σοφώτατος· καὶ ἀνασκάπτων καρδίας ποιμνίου σου, τὸ Παρακλήτου μετέδωκας ἥμερον. Πάτερ ὅσιε, Χριστὸν τῇ Ἀλάσκᾳ ἐκήρυξας, ἐν γλώσσῃ ὀξυτάτῃ καὶ οἰκτίρμονι.

Δόξα... Καὶ νῦν... Προεόρτιον.

Φάτνῃ ἔρχεται ἡ Παναγία, ἐν νηδύϊ δὲ ἔχει τὸν Κτίστην, σωτηρίαν χαρίζοντα ἅπασιν, ὅτι ἐγείρει προπάτορας πτώσεως, ἐν τῇ θεώσει βροτείου φυράματος. Χαῖρε Δέσποινα, ἁπάσης τῆς κτίσεως ὕστατον, καὶ τέλος σκοπιμώτατον, Πανύμνητε.

Ὠδὴ δ΄.

Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὥσπερ ἀγλαόκαρπον φυτόν, Σερπούκωφ ἀνεφύης μέν, καὶ ἐξ αὐτοῦ μετεφυτεύθης σύ, Ἀλάσκᾳ τῇ αὐχμηρᾷ, ἣν δροσίσας εὐθέως, χάριτι ἀρδεύων τὰς καρδίας, καὶ ἅπαντας ὁδηγῶν, τρίβῳ Παραδόσεως ἔσωσας.

Τύπος μοναχοῦ εἰς Βαλαάμ, τοῖς πᾶσιν ἀληθῶς σοφέ· ἐν τῇ ἐρήμῳ κατετρόπωσας, ἐχθροὺς διὰ προσευχῆς, καὶ εἰς ὕψος ἀνέβης, πάτερ θεωρίας καὶ ἀγάπης, ὢν νέος, ἀλλὰ στερρός, Χάριν τῆς Τριάδος καρπούμενος.

Ἄξιος φανεὶς ἀποστολῆς, Ἀλάσκᾳ σὺν λοιποῖς ἐλθών, τῶν Ἀλεούτων ἐξηφάνισας, εἰδώλων ψεκτὴν τιμήν· ὀρθοδόξως βιώσας, ὕστερον ἐκήρυξας, τηρήσας, τὸ Παύλειον καὶ σοφόν, σάρκα μὴ ἀφήνων ἀδούλωτον.

Θεοτοκίον.

Πάθη μου δεινότατα ἁγνή, καὶ δαίμονος ἐπιβουλάς, σὺ διασκέδασον πανάχραντε, καὶ χεῖρας σου μητρικάς, πρὸς Θεὸν καὶ Υἱόν σου, ὕψωσον ἡμᾶς καταξιοῦσα, τὸν τόκον σου προσκυνεῖν, δόξαν τῷ Θεῷ ἀναπέμποντας.

www.tezaurliturgic.ro



Καταβασία.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας· ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄.

Θεὸς ὢν εἰρήνης.

Ἐφάνης προστάτης, εὐσπλάχνως ζητῶν, Ἀλεούτων παμμάκαρ παράκλησιν· εἰρήνην διεσκόρπιζες, τοῖς πᾶσιν ἀληθῶς, νέμων δικαιοσύνην, προφρόνως ἐρχομένοις, καὶ παγίδας δαίμονος, ταῖς σαῖς διαλύων δεήσεσιν.

Ἱμάτια εἶχες, σοφὲ τὰ αὐτά, τῷ χειμῶνι, τῷ θέρει πανόλβιε, τῷ δέρματι τρυχούμενος, ἐλάφου τῷ δεινῷ, σάρκα ὑποπιάζων, ψυχὴν ἀναβιβάζων· τῷ Θεῷ ἡνώθης δέ, καὶ θείῳ γνόφῳ εἰσελήλυθας.

Ναὸς σὺ κατέστης, Τριάδος σεπτῆς· ἐντολὰς ἐκπληρῶν καθυπέταξας, τὴν κτίσιν παμμακάριστε, πλημμύραν τὴν δεινήν, καὶ πῦρ ἀναχαιτίζων· ἀληθῶς κατεφάνης, τοῦ Θεοῦ ἐντρύφημα, Τούτου φωτὶ καταυγαζόμενος.

Θεοτοκίον.

Ὁ πάθεσι Μῆτερ, δουλεύων αἰτῶ, τῶν δακρύων τὸ χάρισμα ἄνασσα, τοῦ κλαίειν αἰσθανόμενος, ἀσθένειαν ψυχῆς· δώρησαί μοι ἀθλίῳ, Υἱόν σου προσκυνῆσαι, καὶ παθῶν τὴν πίεσιν, καὶ σκοτοδείνην ἀποδίωξον.

Καταβασία.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε Φιλάνθρωπε.

Ὠδὴ ϛ΄.

Σπλάγχνων Ἰωνᾶν.

Νάμασι σοφέ, ἤρδευσας τῶν λόγων σου, καρδίας ξηράς· ἐπιδημίᾳ δέ, ὡς νεφέλη σύ, καὶ κατάσκιον δένδρον ἐφάνης ζητῶν, διασώζεσθαι ψυχὰς ἀπὸ ἀπώλειαν, ὃ καὶ χάριτι ἐπέτυχες, τὸν Σωτῆρα δοξάζων ἐν ἅπασιν.

www.tezaurliturgic.ro



Παύσας σὺ τὸ πῦρ, ἔδειξας τὸν ἔρωτα, ὃν εἶχες σφοδρόν, ὅστις κατέκαυσε, τῶν παθῶν δεινάς, καὶ γεώδεις κινήσεις καὶ Πνεῦμα λαβών, τοῦτο ἔνειμας τοῖς πᾶσι παραμύθιον· σὺ γὰρ ῥήξας νόμους φύσεως, ἐθεώθης Χριστοῦ θείᾳ χάριτι.

Ὄρος ἀρετῶν, πάτερ ἀναβέβηκας, καὶ χάριν λαβών, ἐτέλεις θαύματα· τῶν παιδίων δέ, ὧν ἐδίωκες πάντως καρδίας ἁπλοῦν, συμπαθέστατος προστάτης παραγέγονας· δὸς νῦν καὶ ἡμῖν ὁμοίωσιν, ὥστε ἔχειν ἐκείνων ἁπλότητα.

Θεοτοκίον.

Νέον σὺ Ἀδάμ, ἔρχῃ νῦν πανάχραντε, τοῦ δοῦναι ἡμῖν, ὃς μέλλει ἅπαντα, τὰ δεσμὰ Σατάν, διαλῦσαι καὶ σῶσαι τὸ γένος βροτῶν· διὸ πάντες ἀλαλάξωμεν φιλόχριστοι· Σῶτερ φωτισμὸν τῷ κόσμῳ δός, τοῦ δοξάζειν Σε μόνε Ὑπέρθεε.

Καταβασία.

Σπλάχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε, φυλάξας ἀδιάφθορον· ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῆς Ἀλάσκας καύχημα, πάτερ ἐδείχθης καὶ σαρκί, ὡς ἄγγελος, διαβιώσας ἐν Χριστῷ, τοῖς οὐρανίοις ἐσκήνωσας· ὦ Γερμανέ, τῶν Πατέρων ὁμότροπε.

Ὁ Οἶκος.

Ἄγγελος ἀνεφάνης, ἐκ Ρωσίας θεόφρον, Ἀλάσκᾳ κατοικήσας προφρόνως· καὶ ἁπλοῦς Ἀλεούτους, δεινὴν ἐξ εἰδώλων λύσας, ἅγιε, σκότωσιν, διέσωσας· βοῶμεν ὅθεν λέγοντες πρός σὲ τοιαῦτα·

Χαῖρε, πάτερ, Ἀλεούτων προστάτα,
Χαῖρε, μάκαρ, ὁ τὴν σάρκα πατάξας.
Χαῖρε, ἄνθος πανεύοσμον Νέου Κόσμου παντός,
Χαῖρε τέκνον θεόληπτον τῆς ἐρήμου καινόν.
Χαῖρε, κλέος Ρωσίας καὶ ἁπάσης Ἀλάσκας,
Χαῖρε, κρῖνον ἐν πάγοις παραδόξως ἀκμάσαν.
Χαῖρε Γερμανὲ τῶν Πατέρων ὁμότροπε!

www.tezaurliturgic.ro



Συναξάριον.

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Γερμανοῦ τοῦ θαυματουργοῦ, ἐκ Ρωσίας μὲν καταγομένου, ἐν ἀσκήσει δὲ συντόνῳ καὶ ἱεραποστολικῶς τὸ ζῆν ἐκμετρίσαντος ἐν τῇ Ἀλάσκᾳ τοῦ Νέου Κόσμου, ἐν μιᾷ τῶν Ἀλεούτων νήσων, ὑπ᾽ αὐτοῦ ἐπονομασθεῖσαν «Νέον Βαλαάμ».

Στίχοι.

Πονηροῦ τὰς ἐπάρσεις καταράξας τρισόλβιε,
γεώδη σάρκα οὐράνωσας φύσεως βίᾳ.
Νύκτα παθῶν μου ζοφώδην τε καὶ ἀσέληνον,
πρεσβειῶν σου φωτὶ δίωξον πάτερ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.
Οἱ Παῖδες εὐσεβείᾳ.

Ἡδύτατον ἀνθύλλιον ἐφύης, τῇ Ἀλάσκᾳ ὅσιε καὶ Παραδόσεως, φορεὺς καὶ κειμήλιον πολύτιμον, εὐωδίαν μυστικὴν ἐκχέον ἅπασιν, Ὀρθοδοξίας τὰ νάματα ἐκβλύζον.

Μὴ παύων τὴν εὐσέβειαν κηρύττειν, τὰ ψεκτὰ τοῦ σώματος πάθη ἐνίκησας, πυρὶ προσευχῆς σου σὺ χρησάμενος· καὶ τῇ ἄκρᾳ ταπεινώσει μίση ἔλυσας, καὶ ἀνεδείχθης πατὴρ τῶν Ἀλεούτων.

Ἀκέστωρ Ἀλεούτων ἀνεδείχθης· τὰ δαιμόνων τραύματα θεοειδέστατε, ἀγάπῃ χρησάμενος ἐξήλειψας· καὶ ἐκ λόγων θεϊκῶν καρδίας ἔπλησας, τῶν ἀποστόλων τὸν βίον σὺ διώκων.

Θεοτοκίον.

Κυρία Θεοτόκε παραδόξως, σῇ γαστρὶ συνέλαβες τὸν Παντοκράτορα, καὶ πῦρ θεϊκὸν οὔ σε κατέφλεξε, νῦν δὲ ἔρχῃ ἐν σπηλαίῳ Εὔᾳ κράζουσα· ὅ σοι προεῖπε Θεός, ἰδοὺ πληροῦται.

Καταβασία.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.
Θαύματος ὑπερφυοῦς.

www.tezaurliturgic.ro



Ὕπερθεν τῶν γεηρῶν παθῶν ἀνῆλθες, διαπύρως Θεὸν ἀγαπήσας· ῥίπτων τὴν ἀγάπην σαρκὸς γενναίως, ὡς οὐδὲν ψυχῇ προσφέρουσαν, Θεῷ προσεκολλήθης στερρῶς· διὸ ἀνυμνοῦντες ἐπαξίως σε, προσκαλοῦμεν τὴν κτίσιν πᾶσαν δοξάζειν σε, ὡς καλῶς γιγνώσκουσαν χάριτάς σου πάτερ.

Πράξεις σεπτῶν ἀποστόλων ἐμιμήσω, μὴ κτησάμενος πήραν ἢ ῥάβδον· διδοὺς δὲ ψυχήν σου χερσὶν ἀγγέλων, Ἀποστόλων ἐπεπόθησας, ἀκούειν Πράξεις πάτερ σοφέ, καὶ νῦν τοῖς δικαίοις συναγάλλῃ σύ, Παναγίας Τριάδος βλέπων τὸ πρόσωπον, Αὐτῇ ἐντυγχάνων, ὑπὲρ τῶν ὀρθοδόξων.

Ῥύσιν χάριτος ἐσήμανε τὸ τέλος, τοῦ προσκαίρου σου βίου σῇ ποίμνῃ· φῶς γὰρ πάτερ ἄκτιστον ἐξεχύθη, ἐξ ἁγίου σου σκηνώματος, δεικνύον Ἀλεούτοις τρανῶς, ὁδὸν Ὀρθοδόξου Παραδόσεως, προσεγγίζει γὰρ Κτίστῃ πάντα διώκοντα, διαφυλαχθῆναι, ἀπὸ παθῶν κινήσεις.

Θεοτοκίον.

Ἴδωμεν πάντες πιστοὶ στῦλον ἁγνείας, Θεοτόκον πανάσπιλον ὄντως· αὕτη ὡς ἐδέχθη ἐκ Γαβριήλ, τὸ Θεοῦ ἅγιον ἄγγελμα, συνέλαβεν ἀσπόρως Χριστόν, καὶ νῦν μεταβαίνει εἰς τὸ σπήλαιον, τοῦ γεννῆσαι τὸν Κτίστην πάντων, Ὅς ἔρχεται, Ἀδὰμ ἀναστῆσαι, καὶ Εὔαν τοὺς γενάρχας.

Καταβασία.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄.

*Μυστήριον ξένον.*

Ἀκένωτος πάτερ, πηγὴ καὶ θαυμάσιος, ἱερόν σου λείψανον· γῆ χαρᾷ ὑπεδέχθη ἀσήμως· ὡς ζῶσα δὲ λέγει· ἐν ξένοις οἰκήσας ἱερώτατε, Ἀλάσκας φωστήρ, σὺ ἀνεδείχθης τηλαυγέστατος.

Νικήσας τὰ πάθη, τὴν φύσιν ὑπέταξας, καὶ θυέλλης κίνδυνον, ἔπαυσας, Ἰννοκέντιον σώσας· μὴ λίπῃς πρεσβεύειν, Χριστῷ Γερμανὲ ἀειμακάριστε, τοῦ παῦσαι ταχύ, σαρκὸς χαμαίζηλα κινήματα.

Οὐδόλως ποθήσας, τὴν δόξαν τὴν πρόσκαιρον, ξενιτείᾳ ἔζησας, ἔχων ἔνδυμα μόνον τὴν χάριν, τρυφήν σου τὸ πένθος· δι' ὧν

www.tezaurliturgic.ro



ἀνηνέχθης εἰς οὐράνια, Χριστῷ τῷ Θεῷ, Ὢ καὶ πρεσβεύεις σῶσαι ἅπαντας.

Θεοτοκίον.

Σωτῆρα τοῖς πᾶσι, δωρήσασθαι ἔρχεται, Βηθλεὲμ ἀκήρατος· θάλαμος νυμφικὸς ἀνεδείχθη, ἐν ᾧ ἐτελέσθη, τῶν φύσεων ἕνωσις παράδοξος,Θεοῦ καὶ βροτῶν· νέου Ἀδὰμ δὲ γένος ἄρχεται.

Καταβασία.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ Σπήλαιον· Θρόνον Χερουβικὸν τὴν Παρθένον· τὴν Φάτνην χωρίον· ἐν ᾧ ἀνεκλήθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον.

Φῶς ἀναλλοίωτον Λόγε.

Σὺ κατενίκησας πάτερ, τὸ φρόνημα τὸ σαρκικόν· διόρασιν κτησάμενος, τῶν Ἀλεούτων ὁ φωστήρ, ὦ Γερμανὲ ἀνεδείχθης, Ρωσίας ἄνθος εὐῶδες.

Θεοτοκίον.

Ἡ οἰκουμένη εὐφραίνου, ἐλεύσει τῇ τοῦ Λυτρωτοῦ· ἐκ τῆς Παρθένου ἀδόξως, τεχθῆναι μέλλει ἀληθῶς· Σὲ Παναγία ὑμνοῦμεν, Σωτῆρος πάντων μητέρα.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι μάρτυρες.

Χαῖρε πάτερ ἅγιε σοφέ, χαῖρε θεοκίνητε! τοὺς Ἀλεούτους ὡδήγησας, τρίβῳ τῆς Χάριτος· τὴν Ὀρθοδοξίαν πᾶσι διεκήρυξας, ποθῶν ἀδιαλείπτως τὸν Κύριον· Ὃν καθικέτευε, τῆς αἱρέσεων κακότητος, τοῦ ρυσθῆναι τελοῦντας τὴν μνήμην σου. (δίς).

Διῆλθες τὸν βίον σου ὁρῶν, πάντοτε καρδίαν σου, δι᾽ ἧς τῷ Κτίστῃ σὺ ὕψωσας, νοῦν σου πανόλβιε, καὶ τοῖς Ἀλεούτοις, ἅπασιν ἐκήρυττες, Παράδοσιν Ὀρθόδοξον σέβεσθαι· νῦν ἁγιώτατε, μὴ παρίδῃς τῶν ὑμνούντων σε, τὰς δεήσεις, ἀλλὰ ῥῦσαι δαίμονος.

Κωφεύων τοῖς πάθεσι, δεινῶς, σῶμα σου ἐμάστιζες καὶ ἐγκρατείᾳ πανόλβιε, τοῦτο κατέτηξας, πᾶσι διαλάμπων, Πνεύματος τῇ χάριτι· φιλῶν, ὦ Γερμανέ, τὴν ταπείνωσιν, ἧς τὴν ἐνέργειαν, πρῶτον

www.tezaurliturgic.ro



ἔθηκας θεμέλιον, τῆς Ἀλάσκας τὸ σκότος διέλυσας.

Δόξα... Ἦχος πλ. δ΄.

Πνεύματος ἁγίου πληρωθείς, πᾶσαν ἄσκησιν διῆλθες, κατατροπώσας τοὺς δαίμονας. Ἐν καρδίᾳ συμπαθεῖ, τοῖς παισὶ συνωμίλεις, καὶ ἐπιδημίᾳ φοβερᾷ, Ἀλεούτων ἐφάνης, θερμότατος σύντροφος. Δι᾽ ἁγίας βιωτῆς, ἀνεδείχθης προζύμιον Ὀρθοδοξίας ἐν Ἀλάσκᾳ θεσπέσιε. Νῦν δὲ πάτερ ἁγιώτατε Γερμανέ, αὔξησον πρεσβείας σου, τῷ φιλανθρώπῳ Θεῷ, ὅπως ρυσθῶμεν κινδύνου τῶν δεινῶν αἱρέσεων.

Καὶ νῦν... Προεόρτιον. Ὁ αὐτός.

Παναγία Παρθένε, δὸς ἡμῖν λόγους τοῖς ταπεινοῖς, ὑμνεῖν σε ἀξίως, ἐρχομένην εἰς Βηθλεέμ, γεννῆσαι τὸν Κύριον. Μῆτερ Θεοῦ τοῦ ὑψίστου, τὰς διανοίας ἡμῶν ἄνοιξον, τοῦ νοῆσαι τὸ μυστήριον.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τυπικά. Εἰς τοὺς Μακαρισμούς, ἀπὸ τοῦ Κανόνος ᾠδὴ γ΄ καὶ ς΄.

Ἀπόστολος: Κυριακὴ ΚΑ΄ (Γαλ. ϛ΄ 16 - 20)

Εὐαγγέλιον: Κυριακὴ μετὰ τὴν Ὕψωσιν τοῦ Τ. Σταυροῦ (Μάρκ. η΄ 34 - 38).

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις τῆς Ρωσίας ἄνθος τερπνόν, καὶ τῶν Ἀλεούτων θεοφόρος κατηχητής· χαίροις ὀρθοδόξων ρημάτων ἡ κιθάρα, ὦ Γερμανέ, ἐρήμου τέκνον ἥδύτατον.

Ἕτερον*.

Χαίροις τῆς Ἀλάσκας ὁ θησαυρός, καὶ τοῦ Νέου Κόσμου ὁ προστάτης καὶ ὁδηγός· συνόμιλος ἀγγέλων καὶ μοναζόντων κλέος· ὦ Γερμανέ, προφρόνως σε μεγαλύνομεν.

* Ἐκ τοῦ ὀρθοδόξου περιοδικοῦ «Ἡ Παραδοθεῖσα Πίστις», ἐλαφρῶς μεταποιηθέν.